# Wiederholung Infinitiv & AcI

1.Text: **Aufruhr in Ephesos** (Apg 19, 30-40)

[30] Παύλου δὲ βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ *1. ...*
εἴων αὐτὸν οἱ μαθηταί· [31] τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν,
ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ
δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. *2 ...*
[32] Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ ἐκκλησία
συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν, τίνος ἕνεκα
συνεληλύθεισαν. [33] Ἐκ δὲ τοῦ ὄχλου συνεβίβασαν
Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ
Ἀλέξανδρος κατασείσας τὴν χεῖρα ἤθελεν ἀπολογεῖσθαι *3. ...*
τῷ δήμῳ. [34] Ἐπιγνόντες δὲ, ὅτι Ἰουδαῖός ἐστιν, φωνὴ
ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων·
„Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.“ [35] Καταστείλας δὲ ὁ
γραμματεὺς τὸν ὄχλον φησίν· „Ἄνδρες Ἐφέσιοι, τίς γάρ
ἐστιν ἀνθρώπων, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν
νεωκόρον οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ
διοπετοῦς; [36] Ἀναντιρρήτων οὖν ὄντων τούτων δέον
ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς *4. es ist nötig, dass*
πράσσειν. [37] Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους οὔτε
ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὸν ἡμῶν. [38] Εἰ
μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός
τινα λόγον, ἀγοραῖοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν·
ἐγκαλείτωσαν ἀλλήλοις. [39] Εἰ δέ τι περαιτέρω ἐπιζητεῖτε,
ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. [40] Καὶ γὰρ
κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, *5. ...*
μηδενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ δυνησόμεθα
ἀποδοῦναι λόγον περὶ τῆς συστροφῆς ταύτης.“ *6. ...*

2.Text: **Thekla beim Tierkampf** (Acta Pl. 2,34)

[34] Τότε εἰσβάλλουσιν πολλὰ θηρία, ἑστώσης αὐτῆς καὶ
ἐκτετακυίας τὰς χεῖρας καὶ προσευχομένης. Ὡς δὲ
ἐτέλεσεν τὴν προσευχήν, ἐστράφη καὶ εἶδεν ὄρυγμα μέγα
πλῆρες ὕδατος, καὶ εἶπεν· „Νῦν καιρὸς λούσασθαί με.“ *7. ...* *(finaler AcI)*
Καὶ ἔβαλεν ἑαυτὴν λέγουσα· „Ἐν τῷ ὀνόματι Ἰησοῦ
Χριστοῦ ὑστέρᾳ ἡμέρᾳ βαπτίζομαι.“ Καὶ ἰδοῦσαι αἱ
γυναῖκες καὶ πᾶς ὁ ὄχλος ἔκλαυσαν λέγοντες· „Μὴ βάλῃς
ἑαυτὴν εἰς τὸ ὕδωρ“, ὥστε καὶ τὸν ἡγεμόνα δακρῦσαι, *8. ...* *(konsekutiver AcI)*
ὅτι τοιοῦτον κάλλος φῶκαι ἔμελλον ἐσθίειν. Ἡ μὲν οὖν *9. ...*
ἔβαλεν ἑαυτὴν εἰς τὸ ὕδωρ ἐν τῷ ὀνόματι Ἰησοῦ
Χριστοῦ· αἱ δὲ φῶκαι πυρὸς ἀστραπῆς φέγγος ἰδοῦσαι
νεκραὶ ἐπέπλευσαν. Καὶ ἦν περὶ αὐτὴν νεφέλη πυρός,

ὥστε μήτε τὰ θηρία ἅπτεσθαι αὐτῆς μήτε θεωρεῖσθαι αὐτὴν γυμνήν. *10.* *(konsekutiver AcI)*

## Auflösungen

*1. wollen + Inf.*

*2. bitten + Inf.*

*3. wollte sich verteidigen*

*4. es ist nötig, dass*

*5. wir kommen in Gefahr angeklagt zu werden*

*6. können + Inf.*

*7. ... (finaler AcI)*

*8. ... (konsekutiver AcI)*

*9. . wollen + Inf.*

*10. ... (konsekutiver AcI)*

1. Als Paulus hingehen wollte

2. Sie baten ihn, sich nicht ins Theater zu begeben

4. ihr müsst euch ruhig verhalten

6. wir werden uns rechtfertigen können.

7. es ist Zeit mich zu waschen

8. sodass sogar der Statthalter in Tränen ausbrach

9. wollten auffressen

10. sodass weder die Tiere sie anrührten noch sie selber nackt gesehen wurde